Ἔλθετε εἰς Εσεβων,
ἵνα οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηων.
28 [28]ὅτι πῦρ ἐξῆλθεν ἐξ Εσεβων,
φλὸξ ἐκ πόλεως Σηων
καὶ κατέφαγεν ἕως Μωαβ
καὶ κατέπιεν στήλας Αρνων.
29 [29]οὐαί σοι, Μωαβ·
ἀπώλου, λαὸς Χαμως.
ἀπεδόθησαν οἱ υἱοὶ αὐτῶν διασῴζεσθαι
καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι
τῷ βασιλεῖ τῶν Αμορραίων Σηων·
30 [30]καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται, Εσεβων ἕως Δαιβων,
καὶ αἱ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωαβ.
31 [31]Κατῴκησεν δὲ Ισραηλ ἐν πάσαις ταῖς πόλεσιν τῶν Αμορραίων.
32 [32]καὶ ἀπέστειλεν Μωυσῆς κατασκέψασθαι τὴν Ιαζηρ, καὶ κατελά-
βοντο αὐτὴν καὶ τὰς κώμας αὐτῆς καὶ ἐξέβαλον τὸν Αμορραῖον
33 τὸν κατοικοῦντα ἐκεῖ. — [33]καὶ ἐπιστρέψαντες ἀνέβησαν ὁδὸν τὴν
εἰς Βασαν· καὶ ἐξῆλθεν Ωγ βασιλεὺς τῆς Βασαν εἰς συνάντησιν
34 αὐτοῖς καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς πόλεμον εἰς Εδραϊν. [34]καὶ εἶπεν
κύριος πρὸς Μωυσῆν Μὴ φοβηθῇς αὐτόν, ὅτι εἰς τὰς χεῖράς σου
παραδέδωκα αὐτὸν καὶ πάντα τὸν λαὸν αὐτοῦ καὶ πᾶσαν τὴν γῆν
αὐτοῦ, καὶ ποιήσεις αὐτῷ καθὼς ἐποίησας τῷ Σηων βασιλεῖ τῶν
35 Αμορραίων, ὃς κατῴκει ἐν Εσεβων. [35]καὶ ἐπάταξεν αὐτὸν καὶ τοὺς
υἱοὺς αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ ἕως τοῦ μὴ καταλιπεῖν
αὐτοῦ ζωγρείαν· καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτῶν.
22 [1]Καὶ ἀπάραντες οἱ υἱοὶ Ισραηλ παρενέβαλον ἐπὶ δυσμῶν Μωαβ
παρὰ τὸν Ιορδάνην κατὰ Ιεριχω.
2 [2]Καὶ ἰδὼν Βαλακ υἱὸς Σεπφωρ πάντα, ὅσα ἐποίησεν Ισραηλ τῷ
3 Αμορραίῳ, [3]καὶ ἐφοβήθη Μωαβ τὸν λαὸν σφόδρα, ὅτι πολλοὶ ἦσαν,
4 καὶ προσώχθισεν Μωαβ ἀπὸ προσώπου υἱῶν Ισραηλ. [4]καὶ εἶπεν
Μωαβ τῇ γερουσίᾳ Μαδιαμ Νῦν ἐκλείξει ἡ συναγωγὴ αὕτη πάντας
τοὺς κύκλῳ ἡμῶν, ὡς ἐκλείξαι ὁ μόσχος τὰ χλωρὰ ἐκ τοῦ πεδίου.
καὶ Βαλακ υἱὸς Σεπφωρ βασιλεὺς Μωαβ ἦν κατὰ τὸν καιρὸν ἐκεῖ-
5 νον. [5]καὶ ἀπέστειλεν πρέσβεις πρὸς Βαλααμ υἱὸν Βεωρ Φαθουρα,
ὅ ἐστιν ἐπὶ τοῦ ποταμοῦ γῆς υἱῶν λαοῦ αὐτοῦ, καλέσαι αὐτὸν
λέγων Ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου καὶ ἰδοὺ κατεκάλυψεν
6 τὴν ὄψιν τῆς γῆς καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου· [6]καὶ νῦν
δεῦρο ἄρασαί μοι τὸν λαὸν τοῦτον, ὅτι ἰσχύει οὗτος ἢ ἡμεῖς· ἐὰν

27 ελθατε A || 29 σηων > A† || 30 γυναικες] + αυτων A || 32 κατελαβετο A(†) | κατοικουντα] οντα A
22 4 εκλιξει A | ως] ωσει A || 5 φαθουρα] βαθ. A† | ο] ος A || 6 αρασαι] pr. κατ A† | ισχυει — ημεις] ισχυροτερος μου εστιν A